μέρη Ἀνακρεόντια. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν τελευταῖον. κήδανα ταινιοῦσθαι. ἑξῆς δὲ ὡς ἐξ ἑτέρας στροφῆς κῶλα τέσσαρα. ὧν τὸ πρῶτον καὶ τὸ τρίτον ἰαμβικά. τὸ μὲν τρίμετρον. τὸ δὲ δίμετρον. τὰ δὲ λοι-

A πὰ τροχαϊκὰ δίμετρα βραχυκατάληκτα ἰθυφαλικὰ καλούμενα Ἀρχιλόχεια. ἐπὶ τῷ τέλει παράγραφος. Παῖσαι.] ὅπερ ἡμεῖς παῖξαι. ταινιοῦσθαι. στεφανοῦσθαι. ταινία γὰρ ῥάμμα τοῦ στεφάνου.

Χο. Ἄγ' εἶα νῦν γε καὶ τὸν ὡραῖον θεὸν
Παρακαλεῖτε δεῦρο
Ὠδαῖσι, τὸν ξυνέμπορον
Τῆσδε τῆς χορείας.

Σχόλια. Τὸν ὡραῖον.] τὸν κατὰ καιρὸν φαινόμενον Διόνυσον. ἐπεὶ τὸν καιρὸν τοῦ ἔαρος τὰς ἑορτὰς αὐτοῦ ἦγον

B καὶ τὰ κωμικὰ δράματα ἐν ταύταις εἰσήγετο.

CH. *Age eia, nunc & istum festiuum Deum*
*Modulatu vocate*
*Vestro: sodalem ludicræ*
*Inclytum choreæ.*

---

Bisetus. Εἴσθεσις ἑτέρου μέλους διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ιη'.

Ημ. Ἴακχε πολυτίμητε μέλος ἑορτῆς
Ἥδιστον εὑρὼν, δεῦρο συνακολούθει
Πρὸς τὴν θεὸν, καὶ δεῖξον ὡς
Ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις.
C Ἴακχε φιλοχορευτὰ συμπρόπεμπέ με.
Σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
Κἀπ' εὐτελείᾳ, τόνδε
Τὸν σανδαλίσκον καὶ τὸ ῥάκος.
Κἀξεῦρες ὥστ' ἀζημίους
Παίζειν τε καὶ χορεύειν.
Ἴακχε φιλοχορευτὰ συμπρόπεμπέ με.
Καὶ γὰρ παραβλέψας τι μειρακίσκης
D Νῦν δὴ κατεῖδον καὶ μάλ' εὐπροσώπου
Συμπαιστρίας, χιτωνίου
Παραρραγέντος, τιτθίον προκύψαν.
Ἴακχε φιλοχορευτὰ, συμπρόπεμπέ με.
Ξανθ. Ἐγὼ δ' ἀεί πως φιλακόλουθός εἰμι, καὶ
μετ' αὐτῆς
Παίζων χορεύειν βούλομαι. Δι. κἄγωγε πρός.

SEM. *Iacche venerande: ô hilaris in hoc die*
*Cantus repertor, huc age, comitare*
*Nos ad Deam, & dic, quomodo*
*Multum viæ conficias sine labore.*
*Iacche, chori amator, consequare me.*
*Tu discidisti enim propter cachinnum,*
*Et parsimoniam, istum*
*Tam sordidum tritúmque amictum:*
*Vt absque damno lusibus*
*Vacemus & choreis.*
*Iacche, chori amator, consequare me:*
*Nam conspicatus hic aliquam puellam*
*Modò iam vidi, & valde quidem elegantem*
*Consortem: & è velamine*
*Scisso eminentes aspexi papillas:*
*Iacche, chori amator, consequare me.*
XA. *Ego verò lubens vos consequar: nam cum lepida hac puella*
*Colludere, & saltare volo.* BA. *volo ego itidē.*

Σχόλια. Ἴακχε.] εἴσθεσις ἑτέρου μέλους διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ὀκτωκαίδεκα. ὧν τὰ μὲν α β δ ς ιβ ιγ ιε. τρίμετρα καταληκτικά. τὰ δὲ γ η θ ιδ. δίμετρα ἀκατάληκτα. τὰ δὲ ε ια ις. καὶ τὸ τελευταῖον τρίμετρα ἀκατάληκτα. τὰ ζ καὶ ι ἑφθημιμερῆ. τὸ δὲ ιζ. τετράμετρον καταληκτικόν. ἐν ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. Συνακολούθει.] τοῦτο ἐπειδὴ εἰς Ἐλευσῖνα ὁδεύουσιν ἀπὸ τοῦ Κεραμικοῦ προπέμποντες τὸν Διόνυσον. τὸ δὲ ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις. ἀντὶ τοῦ μεθ' ἡμῶν ῥᾳδίαν πάνυ τὴν ὁδὸν ποιήσεις. ἢ ὅτι ἐν τοῖς ναοῖς διατρίβων εἰ φανείης ἡμῖν ἐξαίφνης ἐπικαλεσαμένοις, ἐνταῦθα, δείξεις τὰς ὁδοὺς ἄνευ πόνου τοῖς θεοῖς ποιεῖσθαι. πάντα γὰρ αὐτοῖς εὐπετῆ. Σὺ γὰρ κατεσχίσω.]

E ἴσον τῷ διὰ σὲ κατεσχίσθη. εἴρηται γὰρ ὁ αὐτὸς Ἴακχος τῷ Διονύσῳ κατά τινας. τῷ δὲ Διονύσῳ αἱ κωμῳδίαι ἀνάκεινται. ἔοικε δὲ παρεμφαίνειν ὅτι ἤδη λιτῶς ἐχορηγεῖτο τοῖς ποιηταῖς. ἐπὶ γοῦν τοῦ Καλλίου τούτου φησὶν Ἀριστοτέλης ὅτι συνδύο ἔδοξε χορηγεῖν τὰ Διονύσια τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς. ὥστε ἦν τις καὶ περὶ τὸν Ληναϊκὸν συστολὴ χρόνῳ. δι' οὗ πολλοὶ ὕστερον καθάπερ τὰς χορηγίας περιεῖλε Κινησίας. Καὶ τὸ ῥάκος.] ἔτι δύναται ταῦτα, τὴν αὐτὴν ἔννοιαν ἔχειν. ῥάκος δὲ, οἱ μὲν τὸ τελώνιον, οἱ δὲ τὸ προσωπεῖον, ὅτι ῥάκεσι κατακολλᾶται. Καὶ μετ' αὐτῆς.] τοῦτο πρὸς τὸ ἄνω τὸ, συμπαιστρίας. μετ' αὐτῆς τῆς
F συμπαιστρίας δηλονότι. Κἄγωγε πρός.] τοῦτό τινες Διονύσου φασὶ μεταξὺ παρεμβαλόντως λέγειν.

---

Bisetus. Στροφὴ κώλων ιε'.

Χο. Βούλεσθε δῆτα κοινῇ
Σκώψωμεν Ἀρχέδημον;
Ὃς ἑπτέτης ὢν, οὐκ ἔφυσε φράτερας.
Νυνὶ δὲ δημαγωγεῖ

CH. *Vltis ne, nos vt vnà*
*Taxemus Archidemum?*
*Qui septennis nondum tribules edidit.*
*Nunc mortuus in vrbe,*

Σχόλ. Βούλεσθε δῆτα.] στροφὴ ἡ εἴσθεσις χοροῦ ἐπιρρηματικὴ ἐκ κώλων πεντεκαίδεκα ἰαμβικῶν ἑφθημιμερῶν. πλὴν τοῦ γ ς θ ιβ. καὶ τελευταίου τριμέτρων ἀκαταλήκτων. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δὲ πρὸς λαγνείαν ἐπιρρεπὲς ἀμφοτέρων σκώπτων, τοῦ τε δεσπότου καὶ τοῦ δούλου τοῦτό φησιν. ὁ δὲ Ἀρχέδημος ὡς ξένος παρ' αὐτοῦ κωμῳδεῖται. νόμος γὰρ ἦν τοὺς ἐξ ἀλλοδαπῆς Ἀθήνησι καλεῖ-

G κεῖν ἐθέλοντας, εἰς πολίτας ἐνταῦθα χρόνον ὀλίγον διατρίψαντας ἐγγράφεσθαι. ὅπερ Ἀρχέδημος οὐκ ἐποίησε. δέον οὖν εἰπεῖν ὅτι οὐκ ἐπολιτογραφήθη, ὥστε τοὺς πολίτας ὥσπερ συγγενεῖς ἔχειν, οὐκ ἔφυσεν εἶπεν. ἑξῆς δὲ ταύτης τῆς στροφῆς ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ κώλων θ ἀναλόγως τῇ στροφῇ κειμένων. ὧν τὸ τελευταῖον παραγράφῳ σημειοῦται. Οὐκ ἔφυσε φράτορας.] ἀντὶ τοῦ εἰπεῖν